τὸ δράγμα ἔναντι κυρίου δεκτὸν ὑμῖν, τῇ ἐπαύριον τῆς πρώτης
ἀνοίσει αὐτὸ ὁ ἱερεύς. [12]καὶ ποιήσετε ἐν τῇ ἡμέρᾳ, ἐν ᾗ ἂν φέ- 12
ρητε τὸ δράγμα, πρόβατον ἄμωμον ἐνιαύσιον εἰς ὁλοκαύτωμα τῷ
κυρίῳ [13]καὶ τὴν θυσίαν αὐτοῦ δύο δέκατα σεμιδάλεως ἀναπεποιη- 13
μένης ἐν ἐλαίῳ — θυσία τῷ κυρίῳ, ὀσμὴ εὐωδίας κυρίῳ — καὶ
σπονδὴν αὐτοῦ τὸ τέταρτον τοῦ ιν οἴνου. [14]καὶ ἄρτον καὶ πεφρυγ- 14
μένα χίδρα νέα οὐ φάγεσθε ἕως εἰς αὐτὴν τὴν ἡμέραν ταύτην,
ἕως ἂν προσενέγκητε ὑμεῖς τὰ δῶρα τῷ θεῷ ὑμῶν· νόμιμον αἰ-
ώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ κατοικίᾳ ὑμῶν.
[15]Καὶ ἀριθμήσετε ὑμεῖς ἀπὸ τῆς ἐπαύριον τῶν σαββάτων, ἀπὸ 15
τῆς ἡμέρας, ἧς ἂν προσενέγκητε τὸ δράγμα τοῦ ἐπιθέματος, ἑπτὰ
ἑβδομάδας ὁλοκλήρους· [16]ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομά- 16
δος ἀριθμήσετε πεντήκοντα ἡμέρας καὶ προσοίσετε θυσίαν νέαν
τῷ κυρίῳ. [17]ἀπὸ τῆς κατοικίας ὑμῶν προσοίσετε ἄρτους ἐπίθεμα, 17
δύο ἄρτους· ἐκ δύο δεκάτων σεμιδάλεως ἔσονται, ἐζυμωμένοι
πεφθήσονται πρωτογενημάτων τῷ κυρίῳ. [18]καὶ προσάξετε μετὰ τῶν 18
ἄρτων ἑπτὰ ἀμνοὺς ἀμώμους ἐνιαυσίους καὶ μόσχον ἕνα ἐκ βου-
κολίου καὶ κριοὺς δύο ἀμώμους — ἔσονται ὁλοκαύτωμα τῷ κυ-
ρίῳ — καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν, θυσίαν ὀ-
σμὴν εὐωδίας τῷ κυρίῳ. [19]καὶ ποιήσουσιν χίμαρον ἐξ αἰγῶν ἕνα 19
περὶ ἁμαρτίας καὶ δύο ἀμνοὺς ἐνιαυσίους εἰς θυσίαν σωτηρίου
μετὰ τῶν ἄρτων τοῦ πρωτογενήματος· [20]καὶ ἐπιθήσει αὐτὰ ὁ ἱε- 20
ρεὺς μετὰ τῶν ἄρτων τοῦ πρωτογενήματος ἐπίθεμα ἔναντι κυρίου
μετὰ τῶν δύο ἀμνῶν· ἅγια ἔσονται τῷ κυρίῳ, τῷ ἱερεῖ τῷ προσ-
φέροντι αὐτὰ αὐτῷ ἔσται. [21]καὶ καλέσετε ταύτην τὴν ἡμέραν κλη- 21
τήν· ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ·
νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν.
— [22]καὶ ὅταν θερίζητε τὸν θερισμὸν τῆς γῆς ὑμῶν, οὐ συντελέ- 22
σετε τὸ λοιπὸν τοῦ θερισμοῦ τοῦ ἀγροῦ σου ἐν τῷ θερίζειν σε
καὶ τὰ ἀποπίπτοντα τοῦ θερισμοῦ σου οὐ συλλέξεις, τῷ πτωχῷ
καὶ τῷ προσηλύτῳ ὑπολείψῃ αὐτά· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.
[23]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [24]Λάλησον τοῖς 23 24
υἱοῖς Ισραηλ λέγων Τοῦ μηνὸς τοῦ ἑβδόμου μιᾷ τοῦ μηνὸς ἔσται ὑμῖν
ἀνάπαυσις, μνημόσυνον σαλπίγγων, κλητὴ ἁγία ἔσται ὑμῖν· [25]πᾶν 25
ἔργον λατρευτὸν οὐ ποιήσετε καὶ προσάξετε ὁλοκαύτωμα κυρίῳ.
[26]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [27]Καὶ τῇ δεκάτῃ τοῦ 26 27
μηνὸς τοῦ ἑβδόμου τούτου ἡμέρα ἐξιλασμοῦ, κλητὴ ἁγία ἔσται
ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν καὶ προσάξετε ὁλοκαύτωμα

11 αυτα B*A || 13 κυριω ult.] pr. τω A | σπονδη B*A† | αυτου ult.] -τω A† || 14 του θεου A | νομ. αιων. / εις τ. γ. υμων] tr. A† || 16 εβδομαδος M] -μαδης (sic) B*†, -μης ABc || 18 προσαξει B*A† | βουκολιων A || 21 κλητη A || 22 αυτα] -το B*† | ο > A† || 25 κυριω] pr. τω A